UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

Socrates <Scholasticus>

Mogvntiae, 1677

V. De Lucifero & Eusebio.

urn:nbn:de:hbz:466:1-14233

Visual Library

πόλεως, ἀδελφικὴν ὑμῖν εὔνοιαν ἀποσώζω· τὸ γὰρ τῆς ἐξουσίας ἀκαταφρόνητον, καὶ τὸ ἀπηνέστερον καὶ καθαρὸν τῆς ἀρχῆς, οὔποτε ἂν δήμου περιιδεῖν τόλμημα, μὴ καθάπερ νόσημα χαλεπὸν, πικροτέρῳ διακαθᾶραι φαρμάκῳ· προσφέρω δὲ ἐγὼ ὑμῖν, δι' ἅπερ ἔναγχος ἔφην αἰτίας, τὸ προσηνέστατον, παραίνεσιν καὶ λόγους· ὑφ' ὧν εὖ οἶδ' ὅτι πείσεσθε μᾶλλον, ἤπερ ἐστὲ, καθάπερ ἀκούω, τότε ἀρχαῖον Ἕλληνες, καὶ τὰ νῦν ἐπὶ τῆς εὐγενείας ἐκείνης ὕπεστιν ὑμῖν ἀξιόλογος καὶ γενναῖος ἐν τῇ διανοίᾳ καὶ τοῖς ἐπιτηδεύμασιν ὁ χαρακτήρ· προτεθήτω τοῖς ἐμοῖς πολίταις Ἀλεξανδρεῦσιν· τοιαῦτα μὲν οὖν ὁ βασιλεύς·

A ſtravit, fraternam erga vos charitatem conſervo. Certe poteſtas quæ contemni ſe non patitur, & ſeverus atque integer principatus, nunquam negligere ſolet ejusmodi populorum facinora, ſed tanquam gravem morbum acerbiore medicamento purgare. Ego vero ab eas cauſas quas ſupra commemoravi, lenius vobis remedium adhibeo, ſermonem ſcilicet & exhortationem. Quibus libentius, uti confido, parebitis: quippe qui & à prima origine, ut audio, Græci eſtis; & hujus nobilitatis illuſtrem & eximiam notam in veſtris mentibus ac B ſtudiis etiamnum retinetis. Proponatur civibus meis Alexandrinis. Atque hæc ſunt ab Imperatore ſcripta.

Κεφ. δ'.

Ὡς γεωργίου ἀναιρεθέντος, ἀθανάσιος κατελθὼν εἰς τὴν ἐκκλησίαν, τῆς ἀλεξανδρείας ἐγκρατὴς ἐγένετο.

ΟΥκ εἰς μακρὰν δὲ τῆς φυγῆς κατελθόντα ἀθανάσιον, ἀσμένως ὁ τῶν ἀλεξανδρέων λαὸς ἐδέξατο· ἐξώθησαν τότε ἐκ τῶν ἐκκλησιῶν τοὺς τοῦ ἀρειανοῦ δόγματος· παραδιδόασι δὲ ἀθανασίῳ τοὺς εὐκτηρίους τόπους· οἱ δὲ ἀρειανίζοντες, ἐν οἰκίσκοις ἀσήμοις συναγόμενοι, εἰς τόπον γεωργίου λούκιον προχειρίζονται· ἐν τοιαύτῃ μὲν δὴ καταστάσει τὰ κατὰ τὴν ἀλεξάνδρειαν ἦν·

Caput IV.

Qualiter Athanaſius occiſo Georgio Alexandriam reverſus, Eccleſiam ſuam recuperavit.

HAud multo pòſt, Athanaſium ab exilio reverſum Alexandrinus populus libenter ſuſcepit; & Arianos qui-C dem Eccleſiis ejecit: Athanaſio vero eas tradidit. Porro autem Ariani in ædibus quibusdam vilibus & obſcuris conventus agentes, in locum Georgii Lucium quendam ſubſtituerunt. Et Alexandriæ quidem hic rerum ſtatus tunc temporis fuit.

Κεφ. ε'.

Περὶ λουκίφερος καὶ εὐσεβίου.

ΕΝ δὲ δὴ τῷδε τῷ χρόνῳ λούκιφερ καὶ εὐσέβιος, προστάγματι τοῦ βασιλέως, τῆς ἐξορίας ἀνακέκληντο· Λούκιφερ μὲν καράλων ἐπίσκοπος, ἥ ἐστι πόλις Σαρδανίας· εὐσέβιος δὲ βρεκέλλων· πόλις δὲ αὕτη τῶν ἐν ἰταλίᾳ λιγύων, ὡς μοι καὶ πρότερον εἴρηται· ἄμφω οὖν τῶν ἄνω θηβῶν τῆς ἐξορίας ἐπανιόντες, συμβουλὴν ἐποιοῦντο, τίνα τρόπον τὸν τῆς ἐκκλησίας κανόνα διαφθειρόμενον μὴ παρίδωσιν·

Cap. V.

De Lucifero & Euſebio.

EOdem tempore Lucifer & Euſebius, Imperatoris juſſu ab exilio revocati ſunt: quorum Lucifer quidem, D Caralis quæ urbs eſt Sardiniæ, erat Epiſcopus: Euſebius vero Vercellarum quæ civitas eſt Lygurum in Italia, ut etiam antea dixi. Ambo itaque ex ſuperiori Thebaïde ab exilio redeuntes, conſilium inter ſe inierunt, quonam modo Eccleſiaſticis legibus ſubvenirent, nec eas violari impune paterentur.